κύκλῳ λέγων Προσέχετε ἑαυτοῖς τοῦ ἀναβῆναι εἰς τὸ ὄρος καὶ
θιγεῖν τι αὐτοῦ· πᾶς ὁ ἁψάμενος τοῦ ὄρους θανάτῳ τελευτήσει.
[13]οὐχ ἅψεται αὐτοῦ χείρ· ἐν γὰρ λίθοις λιθοβοληθήσεται ἢ βολίδι 13
κατατοξευθήσεται· ἐάν τε κτῆνος ἐάν τε ἄνθρωπος, οὐ ζήσεται.
ὅταν αἱ φωναὶ καὶ αἱ σάλπιγγες καὶ ἡ νεφέλη ἀπέλθῃ ἀπὸ τοῦ
ὄρους, ἐκεῖνοι ἀναβήσονται ἐπὶ τὸ ὄρος. [14]κατέβη δὲ Μωυσῆς ἐκ 14
τοῦ ὄρους πρὸς τὸν λαὸν καὶ ἡγίασεν αὐτούς, καὶ ἔπλυναν τὰ ἱμά-
τια. [15]καὶ εἶπεν τῷ λαῷ Γίνεσθε ἕτοιμοι τρεῖς ἡμέρας, μὴ προσέλ- 15
θητε γυναικί. [16]ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ γενηθέντος πρὸς ὄρ- 16
θρον καὶ ἐγίνοντο φωναὶ καὶ ἀστραπαὶ καὶ νεφέλη γνοφώδης ἐπ᾽
ὄρους Σινα, φωνὴ τῆς σάλπιγγος ἤχει μέγα· καὶ ἐπτοήθη πᾶς ὁ
λαὸς ὁ ἐν τῇ παρεμβολῇ. [17]καὶ ἐξήγαγεν Μωυσῆς τὸν λαὸν εἰς 17
συνάντησιν τοῦ θεοῦ ἐκ τῆς παρεμβολῆς, καὶ παρέστησαν ὑπὸ τὸ
ὄρος. [18]τὸ δὲ ὄρος τὸ Σινα ἐκαπνίζετο ὅλον διὰ τὸ καταβεβηκέναι 18
ἐπ᾽ αὐτὸ τὸν θεὸν ἐν πυρί, καὶ ἀνέβαινεν ὁ καπνὸς ὡς καπνὸς
καμίνου, καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα. [19]ἐγίνοντο δὲ αἱ φωναὶ 19
τῆς σάλπιγγος προβαίνουσαι ἰσχυρότεραι σφόδρα· Μωυσῆς ἐλά-
λει, ὁ δὲ θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ. [20]κατέβη δὲ κύριος ἐπὶ τὸ 20
ὄρος τὸ Σινα ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους· καὶ ἐκάλεσεν κύριος
Μωυσῆν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ ἀνέβη Μωυσῆς. [21]καὶ 21
εἶπεν ὁ θεὸς πρὸς Μωυσῆν λέγων Καταβὰς διαμάρτυραι τῷ λαῷ,
μήποτε ἐγγίσωσιν πρὸς τὸν θεὸν κατανοῆσαι καὶ πέσωσιν ἐξ αὐ-
τῶν πλῆθος· [22]καὶ οἱ ἱερεῖς οἱ ἐγγίζοντες κυρίῳ τῷ θεῷ ἁγιασθή- 22
τωσαν, μήποτε ἀπαλλάξῃ ἀπ᾽ αὐτῶν κύριος. [23]καὶ εἶπεν Μωυσῆς 23
πρὸς τὸν θεόν Οὐ δυνήσεται ὁ λαὸς προσαναβῆναι πρὸς τὸ ὄρος
τὸ Σινα· σὺ γὰρ διαμεμαρτύρησαι ἡμῖν λέγων Ἀφόρισαι τὸ ὄρος
καὶ ἁγίασαι αὐτό. [24]εἶπεν δὲ αὐτῷ κύριος Βάδιζε κατάβηθι καὶ ἀνά- 24
βηθι σὺ καὶ Ααρων μετὰ σοῦ· οἱ δὲ ἱερεῖς καὶ ὁ λαὸς μὴ βιαζέ-
σθωσαν ἀναβῆναι πρὸς τὸν θεόν, μήποτε ἀπολέσῃ ἀπ᾽ αὐτῶν κύ-
ριος. [25]κατέβη δὲ Μωυσῆς πρὸς τὸν λαὸν καὶ εἶπεν αὐτοῖς. 25
[1]Καὶ ἐλάλησεν κύριος πάντας τοὺς λόγους τούτους λέγων [2]Ἐγώ 20
εἰμι κύριος ὁ θεός σου, ὅστις ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου ἐξ
οἴκου δουλείας. [3]οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. — [4]οὐ 3 4
ποιήσεις σεαυτῷ εἴδωλον οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐ-
ρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑπο-
κάτω τῆς γῆς. [5]οὐ προσκυνήσεις αὐτοῖς οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς· 5

14 εκ] απο A | λαον] + και ειπεν αυτοις Bs || 16 και 1º > A | ο ult. > A || 17 συναντ.] pr. την A Bc | fin.] + σινα B (Bc το σινα) || 18 το 2º > A: item in 20 | επ αυτο / τον θ. εν πυρι] tr. A† | και ανεβαινεν] αν. δε A || 19 ελαλησεν B† || 21 πεση A || 22 ιερεις] + δε A† | κυριω > A | κυριος] πληθος A† || 24 ειπεν δε] και ειπεν A | και αναβηθι > B*

20 1 κυριος] + προς μωυσην A† || 2 οστις εξηγ.] ο εξαγαγων A: cf. Deut. 5 6

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/171 UNIVERSITÄT LEIPZIG